μείζω κακὰ γενέσθαι τῇ πόλει. ὁπόσοι δ' εὖνοί φασιν
εἶναι, πῶς οὐκ ἐνταῦθα ἔδειξαν, αὐτοί τε τὰ βέλτιστα
λέγοντες καὶ τοὺς ἐξαμαρτάνοντας ἀποτρέποντες;

Ἴσως δ' ἂν ἔχοι εἰπεῖν ὅτι ἐδεδοίκει, καὶ ὑμῶν τοῦτο 50
ἐνίοις ἱκανὸν ἔσται. ὅπως τοίνυν μὴ φανήσεται ἐν τῷ
λόγῳ τοῖς τριάκοντα ἐναντιούμενος· εἰ δὲ μή, ἐνταυθοῖ
δῆλος ἔσται ὅτι ἐκεῖνά τε αὐτῷ ἤρεσκε, καὶ τοσοῦτον
ἐδύνατο ὥστε ἐναντιούμενος μηδὲν κακὸν παθεῖν ὑπ'
αὐτῶν. χρῆν δ' αὐτὸν ὑπὲρ τῆς ὑμετέρας σωτηρίας ταύ-
την τὴν προθυμίαν ἔχειν, ἀλλὰ μὴ ὑπὲρ Θηραμένους,
ὃς εἰς ὑμᾶς πολλὰ ἐξήμαρτεν. ἀλλ' οὗτος τὴν μὲν πόλιν 51
ἐχθρὰν ἐνόμιζεν εἶναι, τοὺς δ' ὑμετέρους ἐχθροὺς φί-
λους, ὡς ἀμφότερα ταῦτα ἐγὼ πολλοῖς τεκμηρίοις παρα-
στήσω, | καὶ τὰς πρὸς ἀλλήλους διαφορὰς οὐχ ὑπὲρ ὑμῶν
ἀλλ' ὑπὲρ ἑαυτῶν γιγνομένας, ὁπότεροι τὰ πράγματα
πράξουσι καὶ τῆς πόλεως ἄρξουσιν. εἰ γὰρ ὑπὲρ τῶν 52
ἀδικουμένων ἐστασίαζον, ποῦ κάλλιον [ἂν] ἦν ἀνδρὶ
ἄρχοντι, ἢ Θρασυβούλου Φυλὴν κατειληφότος, τότε ἐπι-
δείξασθαι τὴν αὑτοῦ εὔνοιαν; ὁ δ' ἀντὶ τοῦ ἐπαγγεί-
λασθαί τι ἢ πρᾶξαι ἀγαθὸν πρὸς τοὺς ἐπὶ Φυλῇ, ἐλθὼν
μετὰ τῶν συναρχόντων εἰς Σαλαμῖνα καὶ Ἐλευσῖνάδε
τριακοσίους τῶν πολιτῶν ἀπήγαγεν εἰς τὸ δεσμω-
τήριον, καὶ μιᾷ ψήφῳ αὐτῶν ἁπάντων θάνατον κατε-
ψηφίσατο.

Ἐπειδὴ δὲ εἰς τὸν Πειραιᾶ ἤλθομεν καὶ αἱ ταραχαὶ 53
γεγενημέναι ἦσαν καὶ περὶ τῶν διαλλαγῶν οἱ λόγοι ἐγί-
γνοντο, πολλὰς ἑκάτεροι ἐλπίδας εἴχομεν πρὸς ἀλλήλους
ἔσεσθαι, ὡς ἀμφότεροι ἔδειξαν. οἱ μὲν γὰρ ἐκ Πειραιῶς
κρείττους ὄντες εἴασαν αὐτοὺς ἀπελθεῖν· οἱ δὲ εἰς τὸ 54
ἄστυ ἐλθόντες τοὺς μὲν τριάκοντα ἐξέβαλον πλὴν Φει-
δωνος καὶ Ἐρατοσθένους, ἄρχοντας δὲ τοὺς ἐκείνοις